# Κανὼν Παρακλητικός εἰς τοὺς αὐταδέλφους ὁσίους ΠΑΡΘΕΝΙΟΝ καί ΕΥΜΕΝΙΟΝ



**Όσιοι Παρθένιος και Ευμένιος Μονής Κουδουμά**

**Η μνήμη τους εορτάζεται στις 10 Ιουλίου**

**Ευλογήσαντος του Ιερέως το «Κύριε Εισάκουσον μεθ' ο το, Θεός Κύριος και το εξής**

Ηχος δ'. Ο υψωθείς εν τω Σταυρω.

Ως ουρανών κατατρυφώντες της δόξης εξευμενισατε ημιν τον Δεσπότην, θαυματουργοί αυτάδελφοι, Μονής Κουδουμά εμπνοα κλεΐσματα και της Κρήτης φωστήρες, πάνσοφε Παρθένιε και Ευμένιε μάκαρ, ως αν υμών την μνήμην εν ωδαίς θεοπρεπεσιν γηθόμενοι μέλπομεν.

Δόξα. Το αυτό.
Και νυν. Θεοτοκίον.

Ου σιωπήσομεν, ποτέ, Θεοτόκε, τας δυναστείας σου λαλείν οι ανάξιοι, εί μη γαρ Συ προίστασο πρεσβέβουσα, τις ημάς ερρύσατο, εκ τοσούτων κινδύνων: Τις δε διεφύλαξεν εως νύν ελευθέρους: Ούκ αποστώμεν, Δέσποινα , εκ σου, σους γαρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

**Είτα ο Ν' Ψαλμός και ο Κανών.**

Ωδή α'. Ηχος πλ. δ'. Υγράν διοδεύσας.

Παρθένιε μάκαρ, ημών λιτάς συν των Ευμενίω τω οσίω σου αδελφώ προσδέχου και πέμψον ουρανόθεν ημιν υγείαν κατ άμφω και σύνεσιν.

Απόκρουσον πάσας τους δυσμενούς Βελίαρ εφόδους τη δυνάμει σών πρεσβειων, Παρθένιε, νέε αντιλήπτωρ πιστών, προς ον εκ καρδίας ηγάπησας.

Ρεόντων τον κλύδωνα ως φυγών, Ευμένιε πάτερ, προς αχείμαστον αληθώς λιμένα κυβέρνησον υψόθεν τους τη σεπτή αρωγή σου προστρέχοντας.

Θεοτοκίον

Θεόνυμφε, σκέδασον την αχλύν του φαύλου μου βίου και ανάτειλον παμφαή ηω τω ημνούσι σε ως θρόνον φωτοειδή του Θεού και Παντάνακτος.

Ωδή γ΄. Ουρανίας αψίδος.

Εκτενώς δυσωπείτε τον Λυτρωτήν, όσιοι, μάνδρας Κουδουμά, θεοφόροι όντως προϊστορες, ειρήνην πέμψαι ημιν, σοφέ Παρθένιε μάκαρ, και στερρόν, Ευμένιε, βάθρων συνέσεως.

Νοσηράς συνηθείας και εμπαθούς έξεως προς ρευστά, Παρθένιε, πάντα και τα χαμαίζηλα του σου ικετου τον νουν, αρτιφανές θείον αστρον, καθαρόν και διδαξον ελκεσθαι άρρευστα.

Ιησούν αγαπήσαι τον εκ φθοράς ρύσαντα γένος το ανθρώπινον άπαν, πάτερ Ευμένιε αξίωσον με ταχύ, ο προς Αυτόν εκπετάζειν χείρας γνους αείποτε, άυλε άνθρωπε.
Θεοτοκίον

Ευσυμπάθητε Μήτερ του Λυτρωτού, ύψωσον προς αυλάς χαράς παναρρήτου νυν τους καθεύδοντας εν τη ζοφώδει σκιά των στεναγμών και παντοίων θλίψεων, βοώμέν σοι, σθένει τω θείω σου

Διάσωσον πνευματοφόρων αζύγων δύας αγία, εκ κινδύνων υμάς τους νυν τιμώντας, Παρθένιε και σώφρον Ευμένιε, καθ΄ εκάστην.

Επίβλεψον εν ευμενεία, πανύμνητε Θεοτόκε, επί την εμήν χαλεπήν του σώματος κάκωσιν και ίασαι τής ψυχής μου τό άλγος.

**Αίτησις.**

**Κάθισμα. Ήχος β΄. Πρεσβεία θερμή.**

Παθών χαλεπών, Ευμένιε τρισόλβιε και σκεύος λαμπρόν του Πνεύματος, Παρθένιε, ημάς απαλλάττοιτε ταις υμών προς Κτίστην ευντεύξεσιν θερμοί γαρ πρέσβεις πάντων προς Θεόν και ρύσται εκ θλίψεων υπάρχετε.

Ωδη δ΄. Εισακηκοα Κύριε

Καταισχύναντες όφεως την ισχύν, Παρθένιε και Ευμένιε, κακουχίαις χάριν εύρατε δυσωπείν υπέρ ημών τον Κύριον.

Ασκητών την αυτάδελφον ξυνωρίδα ύμνοις φαιδροίς Παρθένιον και Ευμένιον γεραίροντες τας λιτάς αυτών απεκδεχόμεθα.

Ικετεύσατε Κύριον δούναι τοι τιμώσιν υμας, Παρθένιε και Ευμένιε, μετάνοιαν, ίνα συν υμιν αγαλλιώμεθα.

Θεοτοκίον

Έχοντες σε Πανάχραντε, προς Θεον μεσίτριαν οι σοι πρόσφυγες αντιλήψει τη πανσεπτω σου και λιταίς ταις θειας σου προσφεύγομεν.

Ωδή ε′ Φώτισον ημάς.

Ύψιστον Θεον, ον ασκησεσιν εδόξασας εν τω βίω καθικέτευε ορμάς καταστείλε του σαρκίου μου, Παρθένιε.

Μέμνησο ημών ευμενώς σοφέ Ευμένιε, των στεφόντων σε τοις άνθεσιν ωδών και διάσωσον εν ώρα της ετάσεως.

Έυρομεν υμάς άρτι θείους αντιλήπτορας εν τοις κλύδωσιν, Ευμένιε κλεινέ και Παρθένιε ασκήσεως ακρώρεια.

Θεοτοκίον

Νέκρωσον παθών τα ορμήματα Πανάμωμε, και τον νουν μου προς εγρήγορσιν ταχύ, Θεοτόκε αειπάρθενε, ανάστησον.

Ωδή στ′. Την δέησιν

Ιάτρευσον ρωστική πρεσβεία σου το δεινότατο καρδίας μου άγχος και ειρηναίον παράχσου μοι βίον τηρών μακράν μου εχθρού τοξεύματα, αυτού ο άρτι ολετήρ εποφθείς ενασκήσει, Παρθένιε.

Επίβλεψον ιλαρώ σου όμματι εφ' ημάς τους ανατρέχοντας πόθω ταις προς Θεόν ευμενέσι λιταίς σου, θεοφορούμενε Πάτερ Ευμένιε και ανακούφισον ημών τας οδύνας του βίου, δεόμεθα.

Ευφρόσυνον εν τω πόλω βίωσιν απολαύοντες, ομαίμονες θειοι, ως ερασταί προσευχής και νηστείας αυτού και πάντας ημάς αξιώσατε υμάς, Παρθένιε λαμπρέ και Ευμένιε, ύμνοις τους μέλποντας.

Θεοτοκίον

Στενώσεως ψυχικής απάλλαξον τους οικέτας σου αγνή Θεοτόκε και χαρμονής πλήρου πάντας τους πίστει σε εις αιώνας τρανώς μεγαλύνοντας Θεοκυήτορ, ως πηγήν αενάου χαράς πολυχεύμονα.

Διάσωσον πνευματοφόρων αζύγων δυάς αγία, εκ κινδύνων υμάς τους νυν τιμώντας, Παρθένιε και σώφρον Ευμένιε, καθ εκάστην.

Άχραντε, η διά λόγου τον Λόγον ανερμηνεύτως επ' εσχάτων, των ημερών τεκούσα δυσώπησον, ως έχουσα μητρικήν παρρησίαν.

## Αίτησις και το Κοντάκιον

Ηχος β'. Τοις των αιμάτων σου.

Του Κουδουμά της Μονής αντιλήπτορες.
Πνευματοφόρε Παρθένιε πάντιμε και χάριτος ρείθρον,

Ευμένιε, υπέρ υμών δυσωπείτε τον Κύριον υμάς των τιμώντων εκάστοτε.

Προκείμενον. Ήχος δ'.

Τίμιος εναντίον Κυρίου ο θάνατος του Οσίου Αυτού. Στίχος. Τοις Αγίοις τοις εν τη γη Αυτού εθαυμάστωσεν ο Κύριος (Ψαλμ. ΙΕ' 3)

**Ευαγγέλιον, Ματθ ια′ 27-30**

Δόξα.
Ταίς των σων Αγίων πρεσβείαις Ελεήμον….

Και νυν.
Ταις της Θεοτόκου πρεσβείαις Ελεήμον…

Στίχος. Ελεήμον, ελέησόν με ο Θεός κατά το μέγα έλεός σου, και κατά το πλήθος των οικτιρμών σου εξάλειψον το ανόμημά μου.

Προσόμοιον. Ήχος β′. Όλην αποθέμενοι.

Έχοντες προς Κυριον και Λυτρωτήν παρρησίαν κράζομεν πρεσβεύσατε εκτενώς Παρθένιε και Ευμένιε ρύσασθαι άπαντας πάσης στενώσεως και ποικίλων περιστάσεων τους καταφεύγοντας ταίς υμών θερμαίς παρακλήσεσι κοπάζοντες τον τάραχον των περικλυζόντων εκάστοτε θλίψεων, φωσφόροι, αυτούς, πνευματοφόροι ασκηταί, οι εν εσχάτοις τοις έτεσι κόσμον καταυγάσαντες.

**Σώσον ο Θεός τον λαόν σου…..**

Ωδή ζ'. Οι εκ της Ιουδαίας.

Την πατρώαν λιπόντες στέγην, άνικμα σπέη της γης ωκήσατε δια την του Κυρίου αυταδελφοι αγάπην, ης ημίν υπεδείξατε τας σωστικάς ατραπούς και γλυκυτάτας τρίβους.

Εκ Θεου δεδεγμένος δωρημάτων την χάριν κλυτέ Παρθένιε, ομβρίζεις ουρανόθεν ιάματα νοσούσι τοις πιστώς καταφεύγουσι τη ση θερμή αρωγή, πατέρων κοσμιότης.

Μελετάν του Κυρίου εντολάς τας αγίας καταξιώσατε ως τηρηταί του νόμου, Παρθένιε θεόφρον και Ευμένιε πάνσεμνε, τους μελωδούντας υμών τας θείας αριστείας.
Θεοτοκίον

Οδοδείκτης γενού μοι προς την πόλιν την άνω, Θεογεννήτρια, τιθέντι της ψυχής μου τούς οίακας χερσί σου ταις αγίαις και κράζοντι ίσθι εμού στιβαρά του βίου κυβερνήτις.

Ωδη η'. Τον Βασιλέα.

Ισχύ μοι δότε κατά των παθών ακαθάρτων, Κουδουμά του σεμνείου φωστήρες, όπως του Κυρίου αξιωθείην δόξης.

Αγγέλων βίον καταξιώσατε πάντας διαλύσαι, Παρθένιε μάκαρ και αζύγων κύδος, Ευμένιε θεόφρον.

Ρύου απαύστως ανάγκης βίου απάσης τους ευντεύξεις,

Παρθένιε σώφρον, σου εκδεχομένους προς τον Θεό των όλων.

Θεοτοκίον

Ως σωτηρίας ημών πυξίον, Παρθένε, σε υμνούντες πιστώς εκβοώμεν ρύσαι συνοχής με παθών των ακαθάρτων.

Ωδή θ΄. Κυρίως Θεοτόκον.

Γηθόμενοι βοώμεν ρύσασθε κινδύνων και συμφόρων κατοδύνων, Παρθένιε ημάς ταμείον συνέσεως και Ευμένιε.

Οι πίστει προσιόντες σου τη αντιλήψει λυτρούνται άλγους, Παρθένιε όσιε, και κατά χρέος αίνον προσφέρω σου Ευμένιε, ως αν σοι αίνον προσφέρω λαμπρόν αείποτε.

Θεοτοκίον

Χαρίτων εκμαγείον, Μήτερ του Υψίστου, της σης λαμπρότητος φέγγει καταύγασον την σκοτισθείσαν ψυχήν μου, ίνα δοξάζω σε.

**Άξιον εστί....**
**Και τα Μεγαλυνάρια**

Χαίρετε, αστέρες φωτοειδείς Κουδουμά της μάνδρας, οι συντόνω αρτιφανώς λάμψαντες τω κοσμω ασκήσει και νηστεία Ευμένιε και θειε πάτερ Παρθένιε.

Χαίρετε αυτάδελφοι ιεροί, οι εν τοις σπηλαίοις τοις ανικμοις δια Χριστού την αγάπην πόθω οικήσαντες και μάνδρας του Κουδουμά οφθέντες νεοι δομήτορες.

Χαίροις παρθενίας ο εραστής και της εναρέτου πολιτείας ο ακρεμών, χαίροις ασκουμένων νεόφωτε λυχνία, Παρθένιε της Κρήτης έμπνουν θησαύρισμα.

Χαίροις ερημίας ο πολιστής, άνθος μυροβόλον και νεόφυτον της Χριστού, Εκκλησίας πάτερ Ευμένιε παμμάκαρ, ο αρεταίς μυρίζων κόσμου τα πέρατα.

Πάσης δυσχερείας και απειλής του εχθρού ατρώτους συντηρείτε υμάς, σεμνοί Κουδουμά πατέρες Παρθένιε, πρεσβείαις υμων και θεοφορε πατερ Ευμενιε.

Πρέσβευε Παρθένιε τω Χριστώ συν τω Ευμενίω αυταδέλφω σου τω σεπτώ άφεσιν πταισμάτων ημίν αει διδόναι τοις σπεύδουσι τη θεια σκέπη εκάστοτε.

Πάσαι των Αγγέλων αι στρατιαί, Πρόδρομε Κυρίου, αποστόλων η δωδεκάς, οι άγιοι πάντες, μετά τής Θεοτόκου, ποιήσατε πρεσβείαν, εις τό σωθήναι ημάς.

Το Τρισάγιον και το Απολυτίκιον.

Ήχος Πλ. α΄. Τον συνάναρχον Λόγον.

Κουδουμά του σεμνείου τους νέους κτίτορας, τους αυταδέλφους οσίους εν τοις εσχατοις καιροις, εγκρατειας και ευχης βολαις εκλαμψαντας, θείον

Ευμενιον ωδαίς και Παρθένιον σοφόν τιμώντες αξιοχρεως, υπέρ υμών τας πρεσβείας, προς τον Χριστόν αυτών αιτουμεθα.

**Εκτενής και Απόλυσις, μεθ' ην ψαλλομεν το εξής**

Ήχος β'. Οτε εκ του Ξύλου.

Πάντας τους προστρέχοντας υμιν όσιοι πατέρες και ύμνοις ανευφημούντας υμάς όλβιε
Παρθένιε αστήρ νεόφωτε αρετών και πανεύοσμον
Ευμένιε ρόδον ευσεβείας ρύσασθε δεινής κολάσεως ίνα
Κουδουμά του σεμνείου ένθεοι κοσμήτορες πάντες της αγήρω δόξης απολαύσωμεν.

Δέσποινα προσδεξαι...
Την πάσα ελπίδα μου.....